TEZAUR LITURGIC

9 IANUARIE

HARALAMBOS BOUSIA

# PARACLISUL SOBORULUI SF.HOZEVEI II

ATENA,2020

www.tezaurliturgic.ro



# 09 ΙΑΝΟΥΑΡΙΟΥ Παρακλητικός Κανών εις τους Έφορους και προστάτας Αγίους της Ιερας Μονής Χοζεβά

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τόν ΡΜΒ’ (142) Ψαλμόν.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.
Στίχος β’. Πάντα τά ἔθνη ἐκύκλωσαν με, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Στίχος γ’. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.
Ἐναργεστάτους Χοζεβᾶ τοῦ Σεμνείου τοῦ σπηλαιιώδους ἀρωγοὺς καὶ προστάτας τιμήσωμεν κραυγάζοντες αὐτοῖς· Ἠλιού, Μάρτυρες τρισχίλιοι, Σάββα, κλέος Καλύμνου, Ἰωάννη ἔνθεε καὶ Γεώργιε μάκαρ, σὺν Ἰωάννη νέῳ καὶ Μητρὸς Θεοῦ γονεῦσιν, ἡμᾶς βλάβης ῥύσασθε.

Δόξα το αὐτό. Καί νῦν. Θεοτοκίον.
Οὖ σιωπήσωμεν ποτέ, Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἵ ἀνάξιοι εἰμί γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δε διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Ούκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ σούς γάρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν΄ (50) Ψαλμός.

καὶ ὁ Κανών, οὐ ἡ Ἀκροστιχίς·
Χοζεβᾶ Μονῆς ἔφοροι, περισκέπετέ με. Χ.Μ

ᾨδὴ α΄. Ἦχος πλ. δ᾽ Ὑγρὰν διοδεύσας.
Χαρίτων ἐμπλήσατε θεϊκῶν ὑμᾶς τοὺς τιμῶντας, ἀντιλήπτορες Χοζεβᾶ Μονῆς καὶ προστᾶται, θεοφόροι,οἱ σὺν Κυρίῳ ἀεὶ ἀγαλλόμενοι.
Ὁ Θεοπροπάτωρ Ἰωακείμ, ὁ βόσκων σοὺς ἄρνας ἐν κοιλάδι τοῦ Χοζεβᾶ, ἡμᾶς συναρίθμπσον ἀγέλη τῶν σῳζομένων εὐχαῖς διαθέρμοις σου.

Ζωῆς αἰωνίου τυχεῖν ἡμᾶς ἀξίωσον πάντας, πνευματέμφορε Ἠλιού, Προφῆτα, ὁ ζῶν εἰς τοὺς αἰῶνας καὶ προστατεύων τοὺς σὲ μακαρίζοντας.

Θεοτοκίον.
Ἐπάκουσον πάντων σῶν οἰκετῶν καὶ πᾶσι παράσχου τὰ ἐλέη τοῦ σοῦ Υἱοῦ, ἀπείρανδρε Κεχαριτωμένη, ἡ τῶν ἡμῶν προσευχῶν ἐπακούουσα.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Βελεμνῶν τοῦ ἐχθίστου πιστούς, σεπτὲ Αγιε, ἀσινεῖς συντήρει τοὺς πίστει σοὶ καταφεύγοντας, Μονῆς φωστὴρ Χοζεβᾶ, Ὁσίων εὖχος πατέρων, ἀσκητὰ Γεώργιε, θεοφορούμενε.

Ἀσκητῶν κοσμιότης καὶ τιμαλφὲς μάργαρον τῶν Ἱεραρχῶν, Ἰωάννη, Μάνδρας διάκοσμε τοῦ Χοζεβᾶ, σαῖς λιταῖς ἡμᾶς μετόχους τοῦ πόλου δόξης καταξίωσον σὲ τοὺς γεραίροντας.

Μονοτρόπων Σεμνείου τοῦ Χοζεβᾶ ἔκτυπον ἄρτι, θεαυγὲς Ἰωάννη, πέφηπνας, Ὅσιε, τῆς Ῥουμανίας βλαστέ, ὁ εὐλογῶν οὐρανόθεν πάντας προσκυνοῦντάς σου σκῆνος τὸ ἄφθαρτον.

Θεοτοκίον.

Οὐρανίων δωμάτων δεῖξον ἡμᾶς, Δέσποινα, κληρονόμους, Θεογεννῆτορ, τοὺς εὐφημοῦντάς σε καὶ ἐν ᾠδαῖς μελιχραῖς δοξολογοῦντας Υἱόν σου, πᾶσι τὸν δωρούμενον ἄμετρον ἔλεος.

Στηρίξατε, τοὺς κλονουμένους ἐν βίῳ ὑμῶν ἱκέτες τοῦ Σεμνείου τοῦ Χοζεβᾶ φρουροὶ καὶ ἀκέστωρες Ἁγίων χορεῖαι πνευματοφόρων.

Ἐπίβλεψον, ἔν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β', Πρεσβεία θερμή.
Μονῆς Χοζεβᾶ κοσμήτορες, πρεσβεύσατε ὑπὲρ τῶν ὑμᾶς τιμώντων, Θεοπάτορες, Ἀθληταὶ τρισχίλιοι, Ἰωάννη, Σάββα, Γεώργιε, καὶ Ἠλιοὺ σὺν τῷ νεολαμπεῖ φανῷ, Ἰωάννῃ, τῆς ἀσκήσεως.

Ὠδὴ δ'. Εἰσακήκοα, Κύριε.
Νίκητὰς κατ' ἀλάστορος δείξατε, Τρισχίλιοι καλλιμάρτυρες, Χοζεβᾶ τερπνὰ λευκάνθεμα, τοὺς ὑμῶν τιμῶντας τὴν ἀναίρεσιν.
Ἠλιοὺ πνευματέμφορε, ὁ κρυβεὶς ἐν ἄντρῳ Χοῤῥάθ, διάσωσον ἐκ τῆς μήνιος ἱκέτας σου τοῦ δεινοῦ καὶ πλάνου πολεμήτορος.

Σώφρονεῖν καταξίωσον, Χοζεβῖτα Αγιε, χαριτώνυμε, Ἰωάννη, τοὺς προστρέχοντας ταῖς θεοπειθέσι σου ἐντεύξεσι.

Θεοτοκίον.
Ἐλεοῦσα τοὺς δούλους σου μὴ ἐλλείπτης, Δέσποινα παμμακάριστε, τοὺς λαμπρῶς σε μεγαλύνοντας ὡς πηγὴν ἐλέους, Μητροπάρθενε.

Ὠδὴ ς'. Φώτισον ἡμᾶς.
Φέγγει σῶν εὐχῶν, ὦ Σάββα, ζόφωσιν διάλυσον τῶν παθῶν ἡμῶν τιμώντων σε φαιδρῶς ἀσκητὴν ὡς Χοζεβίτην ὁσιώτατον.

Ὁ νεοφανὴς ἐκ τῆς Ῥουμανίας ἥλιος, Ἰωάννη, καθαγίασον ἡμᾶς προσκυνοῦντας ἀδιάφθορόν σου σκήνωμα.

Ῥῦσαι πειρασμῶν τοὺς προστρέχοντας, Γεώργιε Χοχεβῖτα, σαῖς πρὸς Ὕψιστον λιταῖς, ἀπαθείας πολυτίμπτον κειμήλιον.

Θεοτοκίον.
Ὄλβε ἀρετῆς καὶ συνέσεως, Μητρόθεε, ἐναρέτως πολιτεύεσθαι ἡμᾶς καταξίωσον ἀεί σε μακαρίζοντας.

ᾨδὴ στ΄. Τὴν δέπσιν.
Ἱκάνωσον, Ἡλιοὺ θεσπέσιε, σοὺς ἱκέτας ἀπολαῦσαι τῆς δόξης τοῦ Θεανθρώπου ἐν δώμασι πόλου, Οὗ ἐν Θαβὼρ τῆς εὐκλείας ἀπήλαυσας σὺν τοῖς προκρίτοις Μαθηταῖς καὶ Μωσῇ τῷ σεπτῷ, θεοδόξαστε.
Προπάτορες ταπεινοὶ καὶ δίκαιοι, ἱερὲ Ἰωακεὶμ σὺν τῇ Αννᾳ, οἱ τιμαλφεῖς τοῦ Χοῤῥὰθ τῆς κοιλάδας καὶ τῶν σπηλαίων αὐτῆς ὄλβοι, ῥύσασθε ἡμῶν κινδύνων ἀλγεινῶν, πειρασμῶν, νοσημάτων καὶ θλίψεων.

Εὐάρεστος τῷ Θεῷ γενόμενος νυχθημέροις σου, Γεώργιε, πόνοις καὶ τοῦ σαρκίου σου σκληραγωγίᾳ εὗρες τὴν χάριν πρεσβεύειν ἀείποτε ὑπὲρ τῶν πίστει ἀκλινεῖ, Χοζεβῖτα φωστήρ, ἀνυμνούντων σε.

Θεοτοκίον.
Ῥανίδας μου τῶν δακρύων, Δέσποινα, σῶν δεήσεων ἀπόσμηξον μάκτρῳ πρὸς τὸν Υἱόν σου, τὸν

εὔσπλαγχνον Λόγον τοῦ Ὑψίστου, καὶ λύπας μετάστρεψον αὐτῶν εἰς ἄληκτον χαράν, Θεοτόκε, πιστῶν παραμύθιον.

Στηρίξατε τοὺς κλονουμένους ἐν βίῳ ὑμῶν ἱκέτας, τοῦ Σεμνείου τοῦ Χοζεβᾶ φρουροὶ καὶ ἀκέστορες, Αγίων χορεῖαι πνευματοφόρων.

Ἄχραντε, ἥ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὧς ἔχουσα μητρικήν παῤῥησίαν.

Κοντάκιον.Ἦχος β. Τοῖς τῶν αἱμάτων σου.
᾿Ιωακείμ τε καὶ Αννα, Γεώργιε, Πατέρες ᾿Αναιρεθέντες Τρισχίλιοι, σὺν Ἠλιού, Ἰωάννῃ πρεσβεύσατε, Σάββᾳ καὶ Ἰωάννη θεόφρονι, ὑπὲρ ἡμῶν, Χοζεβῖται, τῷ Κτίσαντι.

Προκείμενον.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ᾿Αγίοις Αὐτοῦ.

Εὐαγγέλιον κατὰ Λουκᾶν (Κεφ. στ΄ 17-38).
Τῶ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ , καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· καὶ

πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾿ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· ακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ· κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν. Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. Οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε. Οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε. Οὐαὶ ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι· κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν. ᾿Αλλὰ ὑμῖν λέγω τοῖς ἀκούουσιν· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. Τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην, καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον καὶ τὸν χιτῶνα μὴ κωλύσῃς. Παντὶ δὲ τῷ αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει. Καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί;

Καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι. Καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; Καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι. Καὶ ἐὰν δανείζητε παρ᾽ ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί; Καὶ γὰρ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν ἵνα ἀπολάβωσι τὰ ἴσα. Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ ἀγαθοποιεῖτε καὶ δανείζετε μηδὲν ἀπελπίζοντες, καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί. Καὶ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε· ἀπολύετε, καὶ ἀπολυθήσεσθε· δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον καλόν, πεπιεσμένον καὶ σεσαλευμένον καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν· τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.

Δόξα.
Ταῖς τῶν Σῶν Ἁγίων πρεσβείαις, Ἐλεῆιμον ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.
Καί νῦν.
Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.
Στίχος. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός..
Ἰδιόμελον Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Χοζεβῖται Ἅγιοι, Ἰωακεὶμ Θεοπάτορ, Ἄννα, σκεῦος χάριτος, Ἡλιοὺ πανθαύμαστε, Ὁσιόαθλοι θεῖοι,

Τρισχίλιοι, Σάββα, Καλυμνίων ἀρωγέ, σετιτὲ Γεώργιε, ἐρήμου σέμνωμα, μάκαρ Ἰωάννη, πανεύφημε τῆς Καισαρείας ἔφορε καὶ Ῥουμάνων νέον καλλώπισμα, πάτερ Ἰωάννη, Χριστὸν ἐξιλεοῦσθε ἐκτενῶς ἐμοῦ ὑπὲρ ὁμηγύρεως εὐσεβῶν, πανθαύμαστοι.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἰαμάτων ταμεῖα αἱ σοροὶ τῶν λειψάνων ὑμῶν ἐδείχθησαν, τρἰσχίλιοι Ἀββάδες, χερσὶν ἀναιρεθέντες μιαρῶν, πολυτίμητοι τοῦ Χοζεβᾶ θησαυροὶ τοῦ εὐκλεοῦς Σεμνείου.

Σὠφροσύνης πυξίον, ἀσκητὰ Ἰωάννη, Ῥουμάνων σέμνωμα, σωφρόνως σοὺς ἱκέτας, δικαίως διανῦσαι τρίβον πρόσκαιρον, Ἅγιε, καὶ εὐσεβῶς τοὺς πιστῶς σὸν σκῆνος προσκυνοῦντας.

Καταπράϋνον πάθη σαρκικὰ ἱκετῶν σου, σεπτὲ Γεώργιε, οἰκῆτορ Ἰορδάνου ἐρήμου καὶ κοιλάδος τοῦ Χοῤῥὰθ πανσεβάσμιε, σκληραγωγίᾳ σαρκὸς ὁ θεωθεὶς καὶ νήψει.

Θεοτοκίον.

Εὐσυμπάθητε Μῆτερ, Παναγία Παρθένε, Θεογεννήτρια, μὴ παύσῃ δυσωποῦσα τὸν εὔσπλαγχνόν σου Τόκον ὑπὲρ πάντων τιμώντων σε τῶν ὄντων ἐν συμφοραῖς καὶ βλάβαις καὶ κινδύνοις.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Παράσχου πᾶσι τὴν προστασίαν σου, Σάββα,

Καλυμνίων ἀκέστορ, τοῖς ὕμνοις μεγαλύνουσί σε ὡς μονοτρόπων κέρας.
Ἐκ τοῦ στρουθίου ἐν Χοζεβᾷ τῷ σπηλαίῳ, Ἠλιού, ὁ τρεφόμενος, θρέψον σοὺς ἱκέτας ἄρτῳ ἀγάπης γλυκυτάτῳ.

Τὸν Χοζεβίτην νῦν Ἰωάννην τιμῶντες ὡς ἀσκήσεως τύπον βοῶμεν· Ῥύου, Ἱεράρχα, ἡμᾶς εὐχαῖς σου ἄχθους.

Θεοτοκίον.
Εἰρήνης πέπλον, σεμνή, ἐφάπλωσον, Μῆτερ, Θεοτόκε, τοῖς σὲ ἀνυμνοῦσιν ὡς πολεμουμένων εἰρήνην, Παναγία.

ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.
Μὴ παύσῃ, ἀσκουμένων γέρας, ἱκετεύων τὸν ἀθλοθέτην, θεόφρον Γεώργιε Χοζεβιτῶν ὡραιότης, ὑπὲρ προσφύγων σου.
Ἐξ ὕψους σου εὐκλείας πέμψον, Ἰωάννη, τῆς Ῥουμανίας βλαστέ, πᾶσι χάριν σου ἀσπαζομένοις σὸν σκῆνος τὸ ἀδιάφθορον.

Χαρᾶς ἡμῶν καρδίας πλήσατε, ᾿Αββᾶδες Ἀναιρεθέντες Τρισχίλιοι, λείψανα ἀσπαζομένων ἐν πίστει ὑμῶν τὰ πάνσετα.

Θεοτοκίον.
Μνημόνευε σῶν δούλων, Κεχαριτωμένη,

μεγαλυνόντων ᾿Αγίων τὸν σύλλογον τοῦ Χοζεβᾶ τοῦ Σεμνείου, Θεογεννήτρια.

Καὶ εὐθύς, τό•

Ἄξιόν ἐστίν ὡς ἀληθῶς μακαρίζειν σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.

καὶ τὰ παρόντα Μεγαλυνάρια·

Χαῖροιτε, Γεώργιε, Χοζεβᾶ, Ἰωάννη, Σάββα, Ἠλιού τε Ἰωακείμ, Αννα θεοφόρε, Τρισχίλιοι Πατέρες καὶ νέε Ἰωάννη, ἄνθη μυρίπνοα.

Δεῦτε προσκυνήσωμεν εὐλαβῶς σκῆνος Ἰωάννου, τοῦ Ὁσίου ἐν Χοζεβᾷ Μάνδρᾳ, ὃ ἡ χάρις ἠφθάρτισε Κυρίου ἐκ Ῥουμανίας ἄρτι τοῦ οὐρανόφρονος.

Χαίροις, Θεοπάτορ Ἰωακείμ, ὁ σοὺς ἄρνας βόσκων ἐν κοιλάδι τοῦ Χοζεβᾶ εἰληφὼς θεόθεν τὸ ἄγγελμα Παρθένου ὑπὸ τῆς σῆς συνεύνου ξένης συλλήψεως.

Χαίροις, ἑστιάτορα, Ἠλιού, ὁ ἐν τῇ ἐρήμῳ ἔχων κόρακα τοῦ Χοῤῥάθ, ἔνθα ἀπεκρύβῃς ἀποφυγεῖν τῆν μῆνιν ἀπίστου Ἰεζάβελ, ἄνερ φωτόλαμπρε.

Φοίνικα κατάκαρπον ἀρετῶν τὸν ἐν τῆ ἐρήμω τῆς κοιλάδος τοῦ Χοζεβᾶ φυτευθέντα δεῦτε ὑμνήσωμεν προφρόνως Γεώργιον Ὁσίων ὡς ὑφηγήτορα.

Χαίροις, ἡσυχίας ὁ ἐραστής, χαίροις, ἐνδοτέρας ἐρημίας ὁ πολιστής, χαίροις, ὁ τῆς Λαύρας τοῦ Χοζεβᾶ δομήτωρ, τρισμάκαρ Ἰωάννη, μέροψ ἰσάγγελε.

Οὐ βαρβάρων ξῖφος οὐδ᾽ ἀπειλὴ τμήσεως αὐχένος ἠδυνήθησαν ἀνελεῖν τὰς ὑμῶν καρδίας, φωσφόροι Χοζεβῖται, Τοισχίλιοι ᾿Αββᾶδες, Ὁσιομάρτυρες.

Χαίροις, ὁ ἀρτίως ἀναφανεὶς ἄστρον ὡς πυρφόρον ἐγκρατείας καὶ προσευχῆς, χαίροις, ὁ ἀσκήσει καὶ ἀρετᾷ τὴν νῆσον Καλύμνου ὡραΐσας, Σάββα τρισόλβιε.

Εὔνευνος τιμία Ἰωακείμ, χαίροις, σῶφρον Ἄννα, ἣ ἀφράστως τὴν τοῦ Χριστοῦ τέξασα μητέρα, τὴν μόνην Θεοτόκον, δι᾽ ἧς ἡ σωτηρία κόσμῳ ἐπέφανε.

Πάσαι τῶν Ἀγγέλων αἵ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἤ δωδεκάς, οἱ ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἴς τό σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν

ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Καὶ τὸ ᾿Απολυτίκιον.

῏Ηχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Χοζεβᾶ τοῦ Σεμνείου Ἁγίους μέλψωμεν Ἰωακείμ τε καὶ Ανναν, προφήτην νῦν Ἠλιού, Ἰωάννην, χαριτόβρυτον Ἐπίσκοπον, Σάββαν, Καλύμνου ἀσκητήν, καὶ Γεώργιον σεπτὸν Ῥουμάνῳ σὺν Ἰωάννῃ, ὡς ἐναργεῖς παραστάτας ἡμῶν καὶ θείους ἀντιλήπτορας.

Ἐκτενὴς καὶ Ἀπόλυσις, με’ ἣν ψάλλομεν τὸ ἑξῆς·

῏Ηχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

Μἀνδρας περιδόξου Χοζεβᾶ, τῆς ἐν τοῦ Χοῤῥὰθ τῇ κοιλάδι προστᾶται καὶ ἀρωγοί, Ἅγιοι, μὴν παύσησθε Χριστῷ πρεσβεύοντες ὑπὲρ πάντων ἑκάστοτε ὑμῖν προσφευγόντων, Ἠλιού, Γεώργιε, Ἀββᾶδες Μάρτυρες, Σάββα, νεαυγὲς Ἰωάννη,σὺν Ἰωακείμ τε καὶ Ἄννῃ, Ἰωάννη, Ὅσιε Ἐπίσκοπε.

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τῶν δούλων Σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.

Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν.
Κύριε Ἰησοῦ Χριστέ ὅ Θεός ἡμῶν ἐλέησον ἡμᾶς.
Ἀμήν.

Δίστιχον·
Κωνσταντίνου ἔστε, Χοζεβῖται ϑεῖοι,
βοηϑοὶ ἐν βίῳ, βοᾷ Χαραλάμπης.

